Νοοῦνται δὲ τὰ κατ' ἀφαίρεσιν καὶ θέσιν προειρημένα κοινὰ ἐπὶ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος· χωρὶς τῶν ἰδιωμάτων· ἐπ' αὐτῆς καὶ αὐτῶν τὰ πλεῖστα μὲν κατὰ θέσιν· τινὰ κατ' ἀφαίρεσιν λέγουσι:

Λέγονται δὲ πάλιν τὰ ἰδιώματα τῶν θείων ὑποστάσεων ταῦτα· ἡ πατρότης· ἡ υἱότης· ἡ ἐκπόρευσις· καὶ ὅσα ἄλλα ἰδικῶς λέγεται:

Ὑπόστασιν δὲ ὁρίζουσιν, οὐσίαν μετὰ ἰδιωμάτων· διὸ ἑκάστη ὑπόστασις, ἔχει καὶ τὸ κοινὸν τῆς οὐσίας· καὶ τὸ ἴδιον τῆς ὑποστάσεως: Τὰ δὲ κοινῶς πάλιν ἐπὶ τῆς ἁγίας τριάδος· κατ' ἀφαίρεσιν προειρημένα, τῶν κατὰ θέσιν λεχθέντων, κρείττονά εἰσιν· οὐχ ἧττον μέντοι καὶ ἐπὶ τῶν ἰδιωμάτων ἐπ' αὐτῆς καὶ αὐτῶν· τὰ μὲν κατὰ θέσιν, τὰ δὲ κατ' ἀφαίρεσιν, ὡς προείρηται λέγουσιν· ὡς τὸ γεννητὸν καὶ τὸ ἀγέννητον, καὶ τὰ ὅμοια· ἡ γὰρ ἀγεννησία, τῆς μὲν γεννήσεως κατὰ μόνην διαφορὰν τῆς σημασίας· ἡ μὲν γὰρ τὸ μὴ γεγεννῆσθαι τὸν πατέρα· ἡ δὲ, τὸ γεγεννῆσθαι τὸν υἱὸν σημαίνει:

Ῥήμασι δὲ αὐτοῖς καὶ ὀνόμασι κέχρηνται· πρὸς τῶν